UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

Cap. I. De reditu S. Athanasii.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A

# ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΘΕΟΔΩΡΙΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ

## Λόγος Β΄.

# THEODORITI EPISCOPI CYRI. ECCLESIASTICÆ HISTORIÆ

## LIBER SECUNDUS.

### Κεφ. Α΄.

Περὶ τῆς ἐπανόδου τοῦ ἁγίου ἀθανασίου.

Ὁ μὲν δὴ θεῖος ἀθανάσιος ἔτη δύο καὶ μῆνας τέσσαρας ἐν τῇ τριβέρει διατρίψας, εἰς τὴν ἀλεξάνδρειαν ἐπανῆλθεν. ἔγραψε δὲ καὶ κωνσταντῖνος ὁ βασιλεύς, ὁ τῶν κωνσταντίνου τοῦ μεγάλου παίδων πρεσβύτατος. αὐτὸς γὰρ τῶν πρὸς δυόμενον ἥλιον ἐβασίλευε γαλατίας, τῇ ἀλεξανδρέων ἐκκλησίᾳ τάδε γράμματα.

### Caput Primum.

*De reditu sancti Athanasii.*

B Porro Divinus Athanasius, cum per biennium ac menses quatuor Treviris moratus esset, Alexandriam reversus est. Constantinus autem Imperator, Constantini filiorum natu maximus, qui tunc in Galliis imperium regebat, ad Ecclesiam Alexandrinorum hujusmodi litteras scripsit.

### Κεφ. β΄.

Ἐπιστολὴ τοῦ βασιλέως κωνσταντίνου υἱοῦ κωνσταντίνου πρὸς ἀλεξανδρεῖς.

Κωνσταντῖνος καῖσαρ τῷ λαῷ τῆς καθολικῆς ἐκκλησίας πόλεως τῶν ἀλεξανδρέων. οὐδὲν τὴν τῆς ὑμετέρας ἱερᾶς ἐννοίας ἀποπεφευγέναι γνῶσιν οἴομαι, διὰ τοῦτο ἀθανάσιον τὸν τοῦ προσκυνητοῦ νόμου ὑποφήτην πρὸς καιρὸν εἰς τὰς γαλλίας ἀπεστάλθαι συνέβη, ἵν᾽ ἐπειδὴ ἡ ἀγριότης τῶν αἱμοβόρων αὐτοῦ καὶ πολεμίων ἐχθρῶν εἰς κίνδυνον τῆς ἱερᾶς αὐτοῦ κεφαλῆς ἐπέμενε, μὴ ἄρα διὰ τῆς τῶν φαύλων διαστροφῆς ἀνήκεστα ὑποστῇ. πρὸς τὸ διαπαῖξαι τοίνυν ταύτην, ἀφαιρεθεὶς τῶν φαρύγγων τῶν ἐπικειμένων αὐτῷ ἀνδρῶν, ὑπ᾽ ἐμοὶ διάγειν κεκέλευσται οὕτως ὡς ἐν αὐτῇ τῇ πόλει ἐν ᾗ διέτριβε, πᾶσι τοῖς C ἀναγκαίοις ἐμπλεονάζειν, εἰ καὶ τὰ μάλιστα αὐτοῦ ἡ ἀοίδιμος ἀρετὴ ταῖς θείαις πεποιθυῖα βοηθείαις, καὶ τὰ τῆς τραχυτέρας τύχης ἄχθη ἐξουθενεῖ. τοιγαροῦν εἰ καὶ μάλιστα πρὸς τὴν προσφιλεστάτην ὑμῶν θεοσέβειαν ὁ δεσπότης ἡμῶν ὁ τῆς μακαρίας μνήμης κωνσταντῖνος ὁ θεοσεβέστατος ὁ ἐμὸς πατὴρ τὸν αὐτὸν ἐπίσκοπον τῷ ἰδίῳ τόπῳ παρασχεῖν προῄρητο, ὅμως ἐπειδὴ ἀνθρωπίνῳ κλήρῳ προληφθείς, πρὸ τοῦ τὴν εὐχὴν πληρῶσαι ἀνεπαύσατο, ἀκόλουθον ἡγησάμην, τὴν προαίρεσιν τοῦ τῆς θείας μνήμης βασιλέως διαδεξάμενος

### Cap. II.

*Imperatoris Constantini Junioris epistola ad Alexandrinos.*

C Constantinus Cæsar, populo Ecclesiæ Catholicæ civitatis Alexandrinorum. Nec sanctissimæ mentis vestræ notitiam illud arbitror præterire, Athanasium venerandæ legis interpretem, ad tempus idcirco missum esse in Gallias, ne quoniam cruentorum ejus hostium feritas sacratissimo illius capiti extremum periculum minabatur, ipse per nefariam improborum hominum perversitatem mala insanabilia sustineret. Quamobrem ut hanc feritatem evitaret, ereptus est faucibus eorum qui ipsius capiti imminebant: jussusque sub mea ditione degere, ita ut D in ea urbe quam incolere præceptum ei fuerat, omnibus necessariis abundaret: tametsi ejus eximia virtus Divino freta præsidio, asperioris etiam fortunæ ærumnas parvipendat. Proinde etsi dominus ac parens noster, divæ memoriæ Constantinus August⁹, eundem Episcopum in pristinum locum restituere proposuerat, ac vestræ sacratissimæ pietati reddere: quoniam tamen humana sorte præventus, priusquam votum suum impleflet, ex hac luce migravit, consentaneum esse existimavi, ut divæ memoriæ Principis propositum ego, utpote hæres, executioni mandarem.